Μενέδημος[77], νεανίσκου τινὸς εἰπόντος[78] « Μέγα ἐστὶ[79] τὸ τυχεῖν[80] ὧν ἄν τις ἐπιθυμεῖ », εἶπε, « Πολλῷ μεῖζόν ἐστι τὸ μηδὲν ἐπιθυμεῖν, ὧν[81] μὴ δεῖ ».

« Πλάτων ἔφη τοὺς ἀγαθοὺς ἄνδρας[72] βίου μὴ μακροῦ[83], ἀλλὰ λαμπροῦ δεῖσθαι[84] ».

Ἀλέξανδρος νοσήσας μακρὰν νόσον, ὡς ἀνέῤῥωσεν[85], « Οὐδὲν ἔφη, διατεθῆναι χεῖρον[86]· ὑπέμνησε γὰρ ἡ νόσος ἡμᾶς[87] μὴ μέγα φρονεῖν[88], ὡς θνητοὺς ὄντας. »

Δαρεῖος[89] ὁ Ξέρξου πατὴρ ἑαυτὸν ἐγκωμιάζων, ἔλεγεν « Ἐν ταῖς μάχαις καὶ παρὰ τὰ δεινὰ[90] γίγνεσθαι φρονιμώτερος[91] ».

Λάκαινα[92] γυνὴ, τοῦ υἱοῦ αὐτῆς ἐν παρατάξει[93] χωλωθέντος, καὶ δυσφοροῦντος[94] ἐπὶ τούτῳ· « Μὴ λυποῦ, τέκνον, εἶπε· καθ' ἕκαστον γὰρ βῆμα τῆς ἰδίας[95] ἀρετῆς ὑπομνησθήσῃ[96] ».

Ἀνάξαρχος[97] ὁ φυσικὸς, εἰπόντος αὐτῷ Ἀλεξάνδρου, ὅτι κρεμῶ σε[98]· « Ἀπείλει τούτοις, ἔφη, τοῖς πολλοῖς[99]· ἐμοὶ δὲ οὐδὲν[100] διαφέρει ὑπὲρ γῆς, ἢ κατὰ γῆς σήπεσθαι ».

Διογένης ᾔτησέ ποτε Πλάτωνα[101], τῶν ἐκ τοῦ κήπου ἰσχάδων[102] τρεῖς· Ὡς δ' ἐκεῖνος μέδιμνον[103] ἀπέστειλεν[104], « Οὕτως, ἔφη, καὶ ἀποκρίνῃ, ἐρωτηθεὶς, μυρία[105].

Λεωνίδας, ἀκούσας ἐπισκιάζεσθαι[106] τὸν ἥλιον[107] τοῖς Περσῶν τοξεύμασι· « Χαρίεν[108], ἔφη, καὶ ὑπὸ σκιᾷ μαχούμεθα[109].

Ὁρῶν Μεγαρέας ὁ Διογένης τὰ μακρὰ τείχη[110] ἱστάντας[111], « Ὦ μοχθηροὶ, εἶπε, μὴ τοῦ μεγέθους[112] προνοεῖτε τῶν τειχῶν, ἀλλὰ τῶν ἐπ' αὐτῶν στησομένων[113] ».

Πλάτων Ἀντισθένους ἐν τῇ διατριβῇ ποτε μακρολογήσαντος[114], « Ἀγνοεῖς, εἶπεν, ὅτι τοῦ λόγου μέτρον ἐστὶν, οὐχ ὁ λέγων, ἀλλ' ὁ ἀκούων »;

Ἆγις[115] ὁ βασιλεὺς ἔφη τοὺς Λακεδαιμονίους[116] μὴ ἐρωτᾶν, ὁπόσοι εἰσὶν, ἀλλὰ ποῦ εἰσιν οἱ πολέμιοι; Καὶ ἐρωτῶντός τινος, « Πόσοι εἰσὶ Λακεδαιμόνιοι; ἔφη ». « Ἱκανοὶ τοὺς κακοὺς ἀπερύκειν[117] ».

Ἀγησίλαος[118] περὶ ἀνδρίας καὶ δικαιοσύνης ἐρωτηθεὶς, ποτέρα[119] ἂν

77) Μαθητὴς τοῦ Πλάτωνος. 78) Γεν. ἀπόλ. 79) Μέγα πρᾶγμα. 80) Τὸ τυχεῖν, ἀπαρέμφατον ὀνομαστ. ὑποκείμενον τοῦ Ἐστί. 81) Μηδὲν ἐξ ἐκείνων, ἃ μὴ δεῖ. 82) Ὑποκείμενον τοῦ Δεῖσθαι. 83) Γενικὴ συντακτικὴ τοῦ Δεῖσθαι. 84) Δέομαι. 85) Ἔγινε καλά.
86) Δὲν ἐβλάβη. 87) Ἀντὶ ἐμέ. 88) Νὰ μὴν ὑπερηφανευώμεθα. 89) Ὁ βασιλεὺς τῶν Περσῶν. 90) Καθ' ὅλον τὸ διάστημα τῶν δεινῶν. Τοῦτο σημαίνει ἡ Παρά. 91) Εἰς ὀνομαστικὴν, διότι τὸ ὑποκείμενον τοῦ ἀπαρεμφάτου ταὐτοπροσωπεῖ μὲ τὸ τοῦ ῥήματος, ἐξ οὗ ἐξαρτᾶται. 92) Λακεδαιμονία. 93) Εἰς παράταξιν μάχης. 94) Λυπουμένου.
95) Τῆς ἐδικῆς σου· συντακτικὴ τοῦ Ὑπομνησθήσῃ. 96) Ὑπομιμνήσκω. 97) Φιλόσοφος Ἀβδηρίτης. 98) Θὰ σὲ κρεμάσω. 99) Εἰς τὸν ὄχλον, εἰς τοὺς κοινοὺς ἀνθρώπους.
100) Κατ' οὐδέν. 101) Ἀπὸ τὸν Π. 102) Γεν. διαιρετ. τοῦ τρεῖς. 103) Ἰσχάδων.
104) Αὐτῷ. 105) Λόγια. 106) Εἰδικὸν ἀπαρέμφατον. 107) Ὑποκείμενον τοῦ Ἐπισκιάζεσθαι. 108) Εὐχάριστον εἶναι. 109) Μάχομαι. 110) Τείχη ἑνώνοντα τὴν πόλιν μὲ τὸν λιμένα. 111) Ἀνεγείροντας. 112) Περὶ τοῦ μεγέθους. 113) Ἵστημι. Ἀλλὰ τοῦ μεγέθους τῶν ἀνδρῶν τῶν στησομένων ἐπ' αὐτῶν. 114) Γενικὴ ἀπόλυτος. 115) Βασιλεὺς τῶν Λακεδαιμονίων. 116) Ὑποκείμενον τοῦ Ἐρωτᾷν. 117) Ὥστε ἀπερύκειν. 118) Βασιλεὺς τῆς Σπάρτης. 119) Ποία τῶν δύο.